οἰκείας ὁ νοῦς ἀκριβῶς διαρρυθμίζει πλάστιγγας ὡς ἐν καθαρωτάτῳ κριτηρίῳ τῇ ἑαυτοῦ διανοίᾳ ἐμπαρών.

κ΄.

Πίστις ἄεργος καὶ ἔργον ἄπιστον τὸν αὐτὸν τρόπον ἀποδοκιμασθήσονται· δεῖ γὰρ τὸν πιστὸν πίστιν ἐπιδεικνυμένην τὰ πράγματα τῷ κυρίῳ προσφέρειν. Οὐδὲ γὰρ τῷ πατρὶ ἡμῶν Ἀβραὰμ εἰς δικαιοσύνην λελόγιστο ἡ πίστις, εἰ μὴ καρπὸν αὐτῆς τὸν παῖδα προσήνεγκεν.

κα΄.

Ὁ ἀγαπῶν τὸν θεὸν καὶ πιστεύει γνησίως καὶ τὰ ἔργα τῆς πίστεως ἐπιτελεῖ ὁσίως· ὁ δὲ πιστεύων μόνον καὶ μὴ ὢν ἐν τῇ ἀγάπῃ οὐδὲ αὐτὴν τὴν πίστιν ἣν δοκεῖ ἔχειν ἔχει· ἐλαφρότητι γάρ τινι πιστεύει νοὸς ὡς ὑπὸ τοῦ βάρους τῆς δόξης τῆς ἀγάπης μὴ ἐνεργούμενος. Πίστις οὖν δι᾽ ἀγάπης ἐνεργουμένη τὸ μέγα τῶν ἀρετῶν.

κβ΄.

Ὁ τῆς πίστεως βυθὸς ἐρευνώμενος μὲν κυμαίνεται· ἁπλῇ δὲ διαθέσει θεωρούμενος γαληνιᾷ. Λήθης γὰρ κακῶν ὕδωρ ὂν τὸ βάθος τῆς πίστεως οὐ φέρει παρὰ περιέργων ἐννοιῶν θεωρεῖσθαι. Ἁπλότητι οὖν διανοίας τοῖς αὐτῆς ἐμπλέωμεν ὕδασιν, ἵνα εἰς τὸν λιμένα τοῦ θελήματος οὕτω φθάσωμεν τοῦ θεοῦ.

κγ΄.

Οὐδεὶς δύναται ἢ ἀγαπᾶν ἢ πιστεύειν γνησίως, εἰ μὴ ἑαυτὸν ἑαυτοῦ μὴ ἔχοι κατήγορον. Ὅταν γὰρ ἡ συνείδησις ἡμῶν